προθυμία[a] πρόκειται,[b] καθὸ[c] ἐὰν ⸀ἔχῃ[d] εὐπρόσδεκτος,[e] οὐ καθὸ[f] οὐκ ἔχει.[g]
13 οὐ γὰρ ἵνα ἄλλοις ἄνεσις,[a] ⸀ὑμῖν θλῖψις· ἀλλʼ ἐξ ἰσότητος[b] 14 ἐν τῷ νῦν
καιρῷ τὸ ὑμῶν περίσσευμα[a] εἰς τὸ ἐκείνων ὑστέρημα,[b] ἵνα καὶ τὸ ἐκείνων
περίσσευμα[c] γένηται[d] εἰς τὸ ὑμῶν ὑστέρημα,[e] ὅπως γένηται[f] ἰσότης·[g]
15 καθὼς γέγραπται·[a] Ὁ τὸ πολὺ οὐκ ἐπλεόνασεν,[b] καὶ ὁ τὸ ὀλίγον οὐκ
ἠλαττόνησεν.[c] 16 Χάρις δὲ τῷ θεῷ τῷ ⸀διδόντι[a] τὴν αὐτὴν σπουδὴν[b] ὑπὲρ
ὑμῶν ἐν τῇ καρδίᾳ Τίτου,[c] 17 ὅτι τὴν μὲν παράκλησιν[a] ἐδέξατο,[b]
σπουδαιότερος[c] δὲ ὑπάρχων[d] αὐθαίρετος[e] ἐξῆλθεν[f] πρὸς ὑμᾶς.
18 συνεπέμψαμεν[a] δὲ μετʼ αὐτοῦ τὸν ἀδελφὸν οὗ ὁ ἔπαινος[b] ἐν τῷ εὐαγγελίῳ
διὰ πασῶν τῶν ἐκκλησιῶν— 19 οὐ μόνον δὲ ἀλλὰ καὶ χειροτονηθεὶς[a] ὑπὸ τῶν
ἐκκλησιῶν συνέκδημος[b] ἡμῶν ⸀σὺν τῇ χάριτι ταύτῃ τῇ διακονουμένῃ[c] ὑφʼ
ἡμῶν πρὸς τὴν ⸀αὐτοῦ τοῦ κυρίου δόξαν καὶ προθυμίαν[d] ἡμῶν—
20 στελλόμενοι[a] τοῦτο μή τις ἡμᾶς μωμήσηται[b] ἐν τῇ ἁδρότητι[c] ταύτῃ τῇ
διακονουμένῃ[d] ὑφʼ ἡμῶν, 21 ⸂προνοοῦμεν[a] γὰρ⸃ καλὰ οὐ μόνον ἐνώπιον
κυρίου ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων. 22 συνεπέμψαμεν[a] δὲ αὐτοῖς τὸν ἀδελφὸν
ἡμῶν ὃν ἐδοκιμάσαμεν[b] ἐν πολλοῖς πολλάκις[c] σπουδαῖον[d] ὄντα,[e] νυνὶ[f] δὲ πολὺ

---

e NNFS προθυμία *eagerness*
f VNPA
g VNAA ἐπιτελέω *to finish*
h VNPA
12 a NNFS προθυμία *eagerness*
b V3SPMI πρόκειμαι *to be set before*
c καθό *insofar as*
d V3SPAS
e NNFS εὐπρόσδεκτος *acceptable*
f καθό *insofar as*
g V3SPAI
13 a NNFS ἄνεσις *rest*
b NGFS ἰσότης *equality*
14 a NNNS περίσσευμα *overflow*
b NANS ὑστέρημα *what is lacking*
c NNNS περίσσευμα *overflow*
d V3SAMS
e NANS ὑστέρημα *what is lacking*
f V3SAMS
g NNFS ἰσότης *equality*
15 a V3SRPI
b V3SAAI πλεονάζω *to make increase*
c V3SAAI ἐλαττονέω *to have too little*
16 a VPPADMS
b NAFS σπουδή *hurry*
c NGMS Τίτος *Titus*
17 a NAFS παράκλησις *encouragement*
b V3SAMI
c NNMS σπουδαῖος *zealous*
d VPPANMS
e NNMS αὐθαίρετος *on one's own initiative*
f V3SAAI
18 a V1PAAI συμπέμπω *to send with*
b NNMS ἔπαινος *praise*
19 a VPAPNMS χειροτονέω *to appoint*
b NNMS συνέκδημος *traveling companion*
c VPPPDFS
d NAFS προθυμία *eagerness*
20 a VPPMNMP στέλλομαι *to avoid*
b V3SAMS μωμάομαι *to criticize*
c NDFS ἁδρότης *liberal gift*
d VPPPDFS
21 a V1PPAI προνοέω *to provide for*
22 a V1PAAI συμπέμπω *to send with*
b V1PAAI δοκιμάζω *to test*
c πολλάκις *many times*
d NAMS σπουδαῖος *zealous*
e VPPAAMS
f νυνί *now*

σπουδαιότερον[g] πεποιθήσει[h] πολλῇ τῇ εἰς ὑμᾶς. 23 εἴτε ὑπὲρ Τίτου,[a] κοινωνὸς[b]
ἐμὸς καὶ εἰς ὑμᾶς συνεργός·[c] εἴτε ἀδελφοὶ ἡμῶν, ἀπόστολοι ἐκκλησιῶν, δόξα
Χριστοῦ. 24 τὴν οὖν ἔνδειξιν[a] τῆς ἀγάπης ὑμῶν καὶ ἡμῶν καυχήσεως[b] ὑπὲρ
ὑμῶν εἰς αὐτοὺς ⸀ἐνδεικνύμενοι[c] εἰς πρόσωπον τῶν ἐκκλησιῶν.

**9** Περὶ μὲν γὰρ τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους περισσόν[a] μοί ἐστιν[b] τὸ
γράφειν[c] ὑμῖν, 2 οἶδα[a] γὰρ τὴν προθυμίαν[b] ὑμῶν ἣν ὑπὲρ ὑμῶν καυχῶμαι[c]
Μακεδόσιν[d] ὅτι Ἀχαΐα[e] παρεσκεύασται[f] ἀπὸ πέρυσι,[g] καὶ ⸀τὸ ὑμῶν ζῆλος[h]
ἠρέθισε[i] τοὺς πλείονας. 3 ἔπεμψα[a] δὲ τοὺς ἀδελφούς, ἵνα μὴ τὸ καύχημα[b]
ἡμῶν τὸ ὑπὲρ ὑμῶν κενωθῇ[c] ἐν τῷ μέρει τούτῳ, ἵνα καθὼς ἔλεγον[d]
παρεσκευασμένοι[e] ἦτε,[f] 4 μή πως ἐὰν ἔλθωσιν[a] σὺν ἐμοὶ Μακεδόνες[b] καὶ
εὕρωσιν[c] ὑμᾶς ἀπαρασκευάστους[d] καταισχυνθῶμεν[e] ἡμεῖς, ἵνα μὴ ⸀λέγωμεν[f]
ὑμεῖς, ἐν τῇ ὑποστάσει[g] ⸀ταύτῃ. 5 ἀναγκαῖον[a] οὖν ἡγησάμην[b] παρακαλέσαι[c]
τοὺς ἀδελφοὺς ἵνα προέλθωσιν[d] ⸀εἰς ὑμᾶς καὶ προκαταρτίσωσι[e] τὴν
⸀προεπηγγελμένην[f] εὐλογίαν[g] ὑμῶν, ταύτην ἑτοίμην[h] εἶναι[i] οὕτως ὡς
εὐλογίαν[j] καὶ μὴ ὡς πλεονεξίαν.[k] 6 Τοῦτο δέ, ὁ σπείρων[a] φειδομένως[b]

---

g NAMS σπουδαῖος *zealous*
h NDFS πεποίθησις *confidence*
23 a NGMS Τίτος *Titus*
b NNMS κοινωνός *partner*
c NNMS συνεργός *fellow worker*
24 a NAFS ἔνδειξις *demonstration*
b NGFS καύχησις *boasting*
c VPPMNMP ἐνδείκνυμι *to show*

**Chapter 9**

1 a NNNS περισσός *exceeding*
b V3SPAI
c VNPA
2 a V1SRAI
b NAFS προθυμία *eagerness*
c V1SPMI
d NDMP Μακεδών *Macedonian*
e NNFS Ἀχαΐα *Achaia*
f V3SRMI παρασκευάζω *to prepare*
g πέρυσι(ν) *from last year*
h NNNS ζῆλος *zeal*
i V3SAAI ἐρεθίζω *to stir up*
3 a V1SAAI
b NNNS καύχημα *something to boast about*
c V3SAPS κενόω *to empty*
d V1SIAI
e VPRMNMP παρασκευάζω *to prepare*
f V2PPAS
4 a V3PAAS
b NNMP Μακεδών *Macedonian*
c V3PAAS
d NAMP ἀπαρασκεύαστος *unprepared*
e V1PAPS καταισχύνω *to dishonor*
f V1PPAS
g NDFS ὑπόστασις *confidence*
5 a NNNS ἀναγκαῖος *necessary*
b V1SAMI ἡγέομαι *to lead*
c VNAA
d V3PAAS προέρχομαι *to go on ahead*
e V3PAAS προκαταρτίζω *to arrange for in advance*
f VPRMAFS προεπαγγέλλομαι *to promise beforehand*
g NAFS εὐλογία *blessing*
h NAFS ἕτοιμος *ready*
i VNPA
j NAFS εὐλογία *blessing*
k NAFS πλεονεξία *greediness*
6 a VPPANMS
b φειδομένως *sparingly*

φειδομένως[c] καὶ θερίσει,[d] καὶ ὁ σπείρων[e] ἐπ’ εὐλογίαις[f] ἐπ’ εὐλογίαις[g] καὶ
θερίσει.[h] 7 ἕκαστος καθὼς ⸀προῄρηται[a] τῇ καρδίᾳ, μὴ ἐκ λύπης[b] ἢ ἐξ
ἀνάγκης·[c] ἱλαρὸν[d] γὰρ δότην[e] ἀγαπᾷ[f] ὁ θεός. 8 ⸀δυνατεῖ[a] δὲ ὁ θεὸς πᾶσαν
χάριν περισσεῦσαι[b] εἰς ὑμᾶς, ἵνα ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν[c]
ἔχοντες[d] περισσεύητε[e] εἰς πᾶν ἔργον ἀγαθόν· 9 (καθὼς γέγραπται·[a]
Ἐσκόρπισεν,[b] ἔδωκεν[c] τοῖς πένησιν,[d] ἡ δικαιοσύνη αὐτοῦ μένει[e] εἰς τὸν αἰῶνα·
10 ὁ δὲ ἐπιχορηγῶν[a] ⸀σπόρον[b] τῷ σπείροντι[c] καὶ ἄρτον εἰς βρῶσιν[d]
⸀χορηγήσει[e] καὶ ⸀πληθυνεῖ[f] τὸν σπόρον[g] ὑμῶν καὶ ⸀αὐξήσει[h] τὰ γενήματα[i]
τῆς δικαιοσύνης ὑμῶν·) 11 ἐν παντὶ πλουτιζόμενοι[a] εἰς πᾶσαν ἁπλότητα,[b] ἥτις
κατεργάζεται[c] δι’ ἡμῶν εὐχαριστίαν[d] τῷ θεῷ— 12 ὅτι ἡ διακονία τῆς
λειτουργίας[a] ταύτης οὐ μόνον ἐστὶν[b] προσαναπληροῦσα[c] τὰ ὑστερήματα[d] τῶν
ἁγίων, ἀλλὰ καὶ περισσεύουσα[e] διὰ πολλῶν εὐχαριστιῶν[f] τῷ θεῷ— 13 διὰ τῆς
δοκιμῆς[a] τῆς διακονίας ταύτης δοξάζοντες[b] τὸν θεὸν ἐπὶ τῇ ὑποταγῇ[c] τῆς
ὁμολογίας[d] ὑμῶν εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ καὶ ἁπλότητι[e] τῆς κοινωνίας[f]
εἰς αὐτοὺς καὶ εἰς πάντας, 14 καὶ αὐτῶν δεήσει[a] ὑπὲρ ὑμῶν ἐπιποθούντων[b]
ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν[c] χάριν τοῦ θεοῦ ἐφ’ ὑμῖν. 15 ⸀χάρις τῷ θεῷ ἐπὶ

---

c φειδομένως *sparingly*
d V3SFAI θερίζω *to reap*
e VPPANMS
f NDFP εὐλογία *blessing*
g NDFP εὐλογία *blessing*
h V3SFAI θερίζω *to reap*
7 a V3SRMI προαιρέομαι *to decide*
b NGFS λύπη *sorrow*
c NGFS ἀνάγκη *necessity*
d NAMS ἱλαρός *cheerful*
e NAMS δότης *giver*
f V3SPAI
8 a V3SPAI δυνατέω *to be able*
b VNAA
c NAFS αὐτάρκεια *contentment*
d VPPANMP
e V2PPAS
9 a V3SRPI
b V3SAAI σκορπίζω *to scatter*
c V3SAAI
d NDMP πένης *poor*
e V3SPAI
10 a VPPANMS ἐπιχορηγέω *to support*
b NAMS σπόρος *seed*
c VPPADMS
d NAFS βρῶσις *consumable*
e V3SFAI χορηγέω *to supply*
f V3SFAI πληθύνω *to increase*
g NAMS σπόρος *seed*
h V3SFAI αὐξάνω *to cause to grow*
i NANP γένημα *fruit*
11 a VPPPNMP πλουτίζω *to make rich*
b NAFS ἁπλότης *generosity; sincerity*
c V3SPMI κατεργάζομαι *to produce*
d NAFS εὐχαριστία *expression of thanks*
12 a NGFS λειτουργία *religious service*
b V3SPAI
c VPPANFS προσαναπληρόω *to supply*
d NANP ὑστέρημα *what is lacking*
e VPPANFS
f NGFP εὐχαριστία *expression of thanks*
13 a NGFS δοκιμή *character*
b VPPANMP
c NDFS ὑποταγή *obedience*
d NGFS ὁμολογία *confession*
e NDFS ἁπλότης *generosity; sincerity*
f NGFS κοινωνία *fellowship*
14 a NDFS δέησις *prayer*
b VPPAGMP ἐπιποθέω *to long for*
c VPPAAFS ὑπερβάλλω *to go beyond*

τῇ ἀνεκδιηγήτῳ[a] αὐτοῦ δωρεᾷ.[b]

**10** Αὐτὸς δὲ ἐγὼ Παῦλος παρακαλῶ[a] ὑμᾶς διὰ τῆς πραΰτητος[b] καὶ
ἐπιεικείας[c] τοῦ Χριστοῦ, ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς[d] ἐν ὑμῖν, ἀπὼν[e] δὲ
θαρρῶ[f] εἰς ὑμᾶς· 2 δέομαι[a] δὲ τὸ μὴ παρὼν[b] θαρρῆσαι[c] τῇ πεποιθήσει[d] ᾗ
λογίζομαι[e] τολμῆσαι[f] ἐπί τινας τοὺς λογιζομένους[g] ἡμᾶς ὡς κατὰ σάρκα
περιπατοῦντας.[h] 3 ἐν σαρκὶ γὰρ περιπατοῦντες[a] οὐ κατὰ σάρκα
στρατευόμεθα—[b] 4 τὰ γὰρ ὅπλα[a] τῆς στρατείας[b] ἡμῶν οὐ σαρκικὰ[c] ἀλλὰ
δυνατὰ τῷ θεῷ πρὸς καθαίρεσιν[d] ὀχυρωμάτων—[e] λογισμοὺς[f] καθαιροῦντες[g]
5 καὶ πᾶν ὕψωμα[a] ἐπαιρόμενον[b] κατὰ τῆς γνώσεως[c] τοῦ θεοῦ, καὶ
αἰχμαλωτίζοντες[d] πᾶν νόημα[e] εἰς τὴν ὑπακοὴν[f] τοῦ Χριστοῦ, 6 καὶ ἐν ἑτοίμῳ[a]
ἔχοντες[b] ἐκδικῆσαι[c] πᾶσαν παρακοήν,[d] ὅταν πληρωθῇ[e] ὑμῶν ἡ ὑπακοή.[f] 7 Τὰ
κατὰ πρόσωπον βλέπετε.[a] εἴ τις πέποιθεν[b] ἑαυτῷ Χριστοῦ εἶναι,[c] τοῦτο
λογιζέσθω[d] πάλιν ⸀ἐφ᾽ ἑαυτοῦ ὅτι καθὼς αὐτὸς Χριστοῦ οὕτως καὶ ⸀ἡμεῖς.
8 ἐάν ⸀τε ⸀γὰρ περισσότερόν[a] τι καυχήσωμαι[b] περὶ τῆς ἐξουσίας ἡμῶν, ἧς
ἔδωκεν[c] ὁ ⸀κύριος εἰς οἰκοδομὴν[d] καὶ οὐκ εἰς καθαίρεσιν[e] ὑμῶν, οὐκ
αἰσχυνθήσομαι,[f] 9 ἵνα μὴ δόξω[a] ὡς ἂν ἐκφοβεῖν[b] ὑμᾶς διὰ τῶν ἐπιστολῶν·[c]

---

15 a NDFS ἀνεκδιήγητος *indescribable*
b NDFS δωρεά *gift*

**Chapter 10**

1 a V1SPAI
b NGFS πραΰτης *gentleness*
c NGFS ἐπιείκεια *gentleness*
d NNMS ταπεινός *humble*
e VPPANMS ἄπειμι *to be absent*
f V1SPAI θαρρέω *to have confidence*

2 a V1SPMI δέομαι *to pray*
b VPPANMS πάρειμι *to be present*
c VNAA θαρρέω *to have confidence*
d NDFS πεποίθησις *confidence*
e V1SPMI
f VNAA τολμάω *to dare*
g VPPMAMP
h VPPAAMP

3 a VPPANMP
b V1PPMI στρατεύομαι *to serve as a soldier*

4 a NNNP ὅπλον *instrument*
b NGFS στρατεία *warfare*
c NNNP σαρκικός *material*
d NAFS καθαίρεσις *tearing down*
e NGNP ὀχύρωμα *stronghold*
f NAMP λογισμός *thought*
g VPPANMP καθαιρέω *to take down*

5 a NANS ὕψωμα *height*
b VPPMANS ἐπαίρω *to lift up*
c NGFS γνῶσις *knowledge*
d VPPANMP αἰχμαλωτίζω *to take captive*
e NANS νόημα *thought*
f NAFS ὑπακοή *obedience*

6 a NDNS ἕτοιμος *ready*
b VPPANMP
c VNAA ἐκδικέω *to avenge*
d NAFS παρακοή *disobedience*
e V3SAPS
f NNFS ὑπακοή *obedience*

7 a V2PPAI
b V3SRAI
c VNPA
d V3SPMM

8 a NANS περισσότερος *more than*
b V1SAMS
c V3SAAI
d NAFS οἰκοδομή *building*
e NAFS καθαίρεσις *tearing down*
f V1SFPI αἰσχύνομαι *to be ashamed*

9 a V1SAAS
b VNPA ἐκφοβέω *to frighten*
c NGFP ἐπιστολή *letter*

10 ὅτι Αἱ ⸂ἐπιστολαὶ[a] μέν⸃, φησίν,[b] βαρεῖαι[c] καὶ ἰσχυραί,[d] ἡ δὲ παρουσία[e]
τοῦ σώματος ἀσθενὴς[f] καὶ ὁ λόγος ἐξουθενημένος.[g] 11 τοῦτο λογιζέσθω[a] ὁ
τοιοῦτος, ὅτι οἷοί[b] ἐσμεν[c] τῷ λόγῳ δι’ ἐπιστολῶν[d] ἀπόντες,[e] τοιοῦτοι καὶ
παρόντες[f] τῷ ἔργῳ. 12 Οὐ γὰρ τολμῶμεν[a] ἐγκρῖναι[b] ἢ συγκρῖναι[c] ἑαυτούς
τισιν τῶν ἑαυτοὺς συνιστανόντων·[d] ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς ἑαυτοὺς μετροῦντες[e]
καὶ συγκρίνοντες[f] ἑαυτοὺς ἑαυτοῖς οὐ συνιᾶσιν.[g] 13 ἡμεῖς δὲ ⸀οὐκ εἰς τὰ
ἄμετρα[a] καυχησόμεθα,[b] ἀλλὰ κατὰ τὸ μέτρον[c] τοῦ κανόνος[d] οὗ ἐμέρισεν[e] ἡμῖν
ὁ θεὸς μέτρου,[f] ἐφικέσθαι[g] ἄχρι καὶ ὑμῶν— 14 οὐ γὰρ ὡς μὴ ἐφικνούμενοι[a]
εἰς ὑμᾶς ὑπερεκτείνομεν[b] ἑαυτούς, ἄχρι γὰρ καὶ ὑμῶν ἐφθάσαμεν[c] ἐν τῷ
εὐαγγελίῳ τοῦ Χριστοῦ— 15 οὐκ εἰς τὰ ἄμετρα[a] καυχώμενοι[b] ἐν ἀλλοτρίοις[c]
κόποις,[d] ἐλπίδα δὲ ἔχοντες[e] αὐξανομένης[f] τῆς πίστεως ὑμῶν ἐν ὑμῖν
μεγαλυνθῆναι[g] κατὰ τὸν κανόνα[h] ἡμῶν εἰς περισσείαν,[i] 16 εἰς τὰ ὑπερέκεινα[a]
ὑμῶν εὐαγγελίσασθαι,[b] οὐκ ἐν ἀλλοτρίῳ[c] κανόνι[d] εἰς τὰ ἕτοιμα[e]
καυχήσασθαι.[f] 17 Ὁ δὲ καυχώμενος[a] ἐν κυρίῳ καυχάσθω·[b] 18 οὐ γὰρ ὁ
ἑαυτὸν ⸀συνιστάνων,[a] ἐκεῖνός ἐστιν[b] δόκιμος,[c] ἀλλὰ ὃν ὁ κύριος συνίστησιν.[d]

---

10 a NNFP ἐπιστολή *letter*
b V3SPAI
c NNFP βαρύς *burdensome*
d NNFP ἰσχυρός *powerful*
e NNFS παρουσία *presence*
f NNFS ἀσθενής *weak*
g VPRPNMS ἐξουθενέω *to treat with contempt*

11 a V3SPMM
b NNMP οἷος *what sort of*
c V1PPAI
d NGFP ἐπιστολή *letter*
e VPPANMP ἄπειμι *to be absent*
f VPPANMP πάρειμι *to be present*

12 a V1PPAI τολμάω *to dare*
b VNAA ἐγκρίνω *to classify*
c VNAA συγκρίνω *to express*
d VPPAGMP συνίστημι *to commend*
e VPPANMP μετρέω *to measure*
f VPPANMP συγκρίνω *to express*
g V3PPAI συνίημι *to understand*

13 a NANP ἄμετρος *beyond limits*
b V1PFMI
c NANS μέτρον *measure*
d NGMS κανών *rule*
e V3SAAI μερίζω *to give*
f NGNS μέτρον *measure*
g VNAM ἐφικνέομαι *to come*

14 a VPPMNMP ἐφικνέομαι *to come*
b V1PPAI ὑπερεκτείνω *to go too far*
c V1PAAI φθάνω *to precede*

15 a NANP ἄμετρος *beyond limits*
b VPPMNMP
c NDMP ἀλλότριος *belonging to another*
d NDMP κόπος *labor*
e VPPANMP
f VPPPGFS αὐξάνω *to cause to grow*
g VNAP μεγαλύνω *to glorify*
h NAMS κανών *rule*
i NAFS περισσεία *abundance*

16 a ὑπερέκεινα *beyond*
b VNAM
c NDMS ἀλλότριος *belonging to another*
d NDMS κανών *rule*
e NANP ἕτοιμος *ready*
f VNAM

17 a VPPMNMS
b V3SPMM

18 a VPPANMS συνίστημι *to commend*
b V3SPAI
c NNMS δόκιμος *approved by testing*
d V3SPAI συνίστημι *to commend*

**Chapter 11**

**11** Ὄφελον[a] ἀνείχεσθέ[b] μου μικρόν ⸀τι ⸀ἀφροσύνης·[c] ἀλλὰ καὶ ἀνέχεσθέ[d]
μου. 2 ζηλῶ[a] γὰρ ὑμᾶς θεοῦ ζήλῳ,[b] ἡρμοσάμην[c] γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον[d]
ἁγνὴν[e] παραστῆσαι[f] τῷ Χριστῷ· 3 φοβοῦμαι[a] δὲ μή πως, ὡς ὁ ὄφις[b]
⸂ἐξηπάτησεν[c] Εὕαν⸃[d] ἐν τῇ πανουργίᾳ[e] αὐτοῦ, ⸀φθαρῇ[f] τὰ νοήματα[g] ὑμῶν
ἀπὸ τῆς ἁπλότητος[h] ⸂καὶ τῆς ἁγνότητος⸃[i] τῆς εἰς τὸν Χριστόν. 4 εἰ μὲν γὰρ ὁ
ἐρχόμενος[a] ἄλλον Ἰησοῦν κηρύσσει[b] ὃν οὐκ ἐκηρύξαμεν,[c] ἢ πνεῦμα ἕτερον
λαμβάνετε[d] ὃ οὐκ ἐλάβετε,[e] ἢ εὐαγγέλιον ἕτερον ὃ οὐκ ἐδέξασθε,[f] καλῶς
⸀ἀνέχεσθε.[g] 5 λογίζομαι[a] γὰρ μηδὲν ὑστερηκέναι[b] τῶν ὑπερλίαν[c] ἀποστόλων·
6 εἰ δὲ καὶ ἰδιώτης[a] τῷ λόγῳ, ἀλλ’ οὐ τῇ γνώσει,[b] ἀλλ’ ἐν παντὶ
⸀φανερώσαντες[c] ἐν πᾶσιν εἰς ὑμᾶς. 7 Ἢ ἁμαρτίαν ἐποίησα[a] ἐμαυτὸν
ταπεινῶν[b] ἵνα ὑμεῖς ὑψωθῆτε,[c] ὅτι δωρεὰν[d] τὸ τοῦ θεοῦ εὐαγγέλιον
εὐηγγελισάμην[e] ὑμῖν; 8 ἄλλας ἐκκλησίας ἐσύλησα[a] λαβὼν[b] ὀψώνιον[c] πρὸς τὴν
ὑμῶν διακονίαν, 9 καὶ παρὼν[a] πρὸς ὑμᾶς καὶ ὑστερηθεὶς[b] οὐ κατενάρκησα[c]
οὐθενός· τὸ γὰρ ὑστέρημά[d] μου προσανεπλήρωσαν[e] οἱ ἀδελφοὶ ἐλθόντες[f] ἀπὸ
Μακεδονίας·[g] καὶ ἐν παντὶ ἀβαρῆ[h] ⸂ἐμαυτὸν ὑμῖν⸃ ἐτήρησα[i] καὶ τηρήσω.[j]
10 ἔστιν[a] ἀλήθεια Χριστοῦ ἐν ἐμοὶ ὅτι ἡ καύχησις[b] αὕτη οὐ φραγήσεται[c] εἰς

---

1 a ὄφελον *How I wish! How I hope!*
b V2PIMI ἀνέχομαι *to put up with*
c NGFS ἀφροσύνη *foolishness*
d V2PPMI ἀνέχομαι *to put up with*
2 a V1SPAI ζηλόω *to desire*
b NDMS ζῆλος *zeal*
c V1SAMI ἁρμόζομαι *to promise for marriage*
d NAFS παρθένος *virgin*
e NAFS ἁγνός *pure*
f VNAA
3 a V1SPMI
b NNMS ὄφις *snake*
c V3SAAI ἐξαπατάω *to deceive*
d NAFS Εὕα *Eve*
e NDFS πανουργία *cunning*
f V3SAPS φθείρω *to destroy*
g NNNP νόημα *thought*
h NGFS ἁπλότης *generosity; sincerity*
i NGFS ἁγνότης *purity*
4 a VPPMNMS
b V3SPAI
c V1PAAI
d V2PPAI
e V2PAAI
f V2PAMI
g V2PPMI ἀνέχομαι *to put up with*
5 a V1SPMI
b VNRA ὑστερέω *to lack*
c ὑπερλίαν *exceedingly*
6 a NNMS ἰδιώτης *ordinary*
b NDFS γνῶσις *knowledge*
c VPAANMP
7 a V1SAAI
b VPPANMS ταπεινόω *to humble*
c V2PAPS ὑψόω *to lift up*
d δωρεάν *freely*
e V1SAMI
8 a V1SAAI συλάω *to rob*
b VPAANMS
c NANS ὀψώνιον *pay*
9 a VPPANMS πάρειμι *to be present*
b VPAPNMS ὑστερέω *to lack*
c V1SAAI καταναρκάω *to burden*
d NANS ὑστέρημα *what is lacking*
e V3PAAI προσαναπληρόω *to supply*
f VPAANMP
g NGFS Μακεδονία *Macedonia*
h NAMS ἀβαρής *not burdensome*
i V1SAAI
j V1SFAI
10 a V3SPAI
b NNFS καύχησις *boasting*
c V3SFPI φράσσω *to shut*

ἐμὲ ἐν τοῖς κλίμασι[d] τῆς Ἀχαΐας.[e] 11 διὰ τί; ὅτι οὐκ ἀγαπῶ[a] ὑμᾶς; ὁ θεὸς
οἶδεν.[b] 12 Ὃ δὲ ποιῶ[a] καὶ ποιήσω,[b] ἵνα ἐκκόψω[c] τὴν ἀφορμὴν[d] τῶν
θελόντων[e] ἀφορμήν,[f] ἵνα ἐν ᾧ καυχῶνται[g] εὑρεθῶσιν[h] καθὼς καὶ ἡμεῖς. 13 οἱ
γὰρ τοιοῦτοι ψευδαπόστολοι,[a] ἐργάται[b] δόλιοι,[c] μετασχηματιζόμενοι[d] εἰς
ἀποστόλους Χριστοῦ· 14 καὶ οὐ ⸀θαῦμα,[a] αὐτὸς γὰρ ὁ Σατανᾶς
μετασχηματίζεται[b] εἰς ἄγγελον φωτός· 15 οὐ μέγα οὖν εἰ καὶ οἱ διάκονοι[a]
αὐτοῦ μετασχηματίζονται[b] ὡς διάκονοι[c] δικαιοσύνης, ὧν τὸ τέλος ἔσται[d] κατὰ
τὰ ἔργα αὐτῶν. 16 Πάλιν λέγω,[a] μή τίς με δόξῃ[b] ἄφρονα[c] εἶναι—[d] εἰ δὲ μή
γε,[e] κἂν[f] ὡς ἄφρονα[g] δέξασθέ[h] με, ἵνα κἀγὼ μικρόν τι καυχήσωμαι·[i] 17 ὃ
λαλῶ[a] οὐ ⸂κατὰ κύριον λαλῶ⸃,[b] ἀλλ’ ὡς ἐν ἀφροσύνῃ,[c] ἐν ταύτῃ τῇ
ὑποστάσει[d] τῆς καυχήσεως.[e] 18 ἐπεὶ[a] πολλοὶ καυχῶνται[b] ⸀κατὰ σάρκα, κἀγὼ
καυχήσομαι.[c] 19 ἡδέως[a] γὰρ ἀνέχεσθε[b] τῶν ἀφρόνων[c] φρόνιμοι[d] ὄντες·[e]
20 ἀνέχεσθε[a] γὰρ εἴ τις ὑμᾶς καταδουλοῖ,[b] εἴ τις κατεσθίει,[c] εἴ τις λαμβάνει,[d]
εἴ τις ἐπαίρεται,[e] εἴ τις ⸂εἰς πρόσωπον ὑμᾶς⸃ δέρει.[f] 21 κατὰ ἀτιμίαν[a] λέγω,[b]
ὡς ὅτι ἡμεῖς ⸀ἠσθενήκαμεν·[c] ἐν ᾧ δ’ ἄν τις τολμᾷ,[d] ἐν ἀφροσύνῃ[e] λέγω,[f]

---

d NDNP κλίμα *region*
e NGFS Ἀχαΐα *Achaia*
11 a V1SPAI
b V3SRAI
12 a V1SPAI
b V1SFAI
c V1SAAS ἐκκόπτω *to cut off*
d NAFS ἀφορμή *opportunity*
e VPPAGMP
f NAFS ἀφορμή *opportunity*
g V3PPMI
h V3PAPS
13 a NNMP ψευδαπόστολος *false apostle*
b NNMP ἐργάτης *worker*
c NNMP δόλιος *deceitful*
d VPPMNMP μετασχηματίζω *to transform*
14 a NNNS θαῦμα *wonder*
b V3SPMI μετασχηματίζω *to transform*
15 a NNMP διάκονος *servant*
b V3PPMI μετασχηματίζω *to transform*
c NNMP διάκονος *servant*
d V3SFMI
16 a V1SPAI
b V3SAAS
c NAMS ἄφρων *foolish*
d VNPA
e γέ *indeed*
f κἄν *and if*
g NAMS ἄφρων *foolish*
h V2PAMM
i V1SAMS
17 a V1SPAI
b V1SPAI
c NDFS ἀφροσύνη *foolishness*
d NDFS ὑπόστασις *confidence*
e NGFS καύχησις *boasting*
18 a ἐπεί *since*
b V3PPMI
c V1SFMI
19 a ἡδέως *gladly*
b V2PPMI ἀνέχομαι *to put up with*
c NGMP ἄφρων *foolish*
d NNMP φρόνιμος *wise*
e VPPANMP
20 a V2PPMI ἀνέχομαι *to put up with*
b V3SPAI καταδουλόω *to make a slave*
c V3SPAI κατεσθίω *to eat up*
d V3SPAI
e V3SPMI ἐπαίρω *to lift up*
f V3SPAI δέρω *to beat up*
21 a NAFS ἀτιμία *dishonor*
b V1SPAI
c V1PRAI
d V3SPAS τολμάω *to dare*
e NDFS ἀφροσύνη *foolishness*
f V1SPAI

τολμῶ[g] κἀγώ. 22 Ἑβραῖοί[a] εἰσιν;[b] κἀγώ. Ἰσραηλῖταί[c] εἰσιν;[d] κἀγώ. σπέρμα
Ἀβραάμ εἰσιν;[e] κἀγώ. 23 διάκονοι[a] Χριστοῦ εἰσιν;[b] παραφρονῶν[c] λαλῶ,[d]
ὑπὲρ ἐγώ· ἐν κόποις[e] περισσοτέρως,[f] ἐν ⸂φυλακαῖς περισσοτέρως,[g] ἐν
πληγαῖς[h] ὑπερβαλλόντως⸃,[i] ἐν θανάτοις πολλάκις·[j] 24 ὑπὸ Ἰουδαίων πεντάκις[a]
τεσσεράκοντα[b] παρὰ μίαν ἔλαβον,[c] 25 τρὶς[a] ἐραβδίσθην,[b] ἅπαξ[c] ἐλιθάσθην,[d]
τρὶς[e] ἐναυάγησα,[f] νυχθήμερον[g] ἐν τῷ βυθῷ[h] πεποίηκα·[i] 26 ὁδοιπορίαις[a]
πολλάκις,[b] κινδύνοις[c] ποταμῶν,[d] κινδύνοις[e] λῃστῶν,[f] κινδύνοις[g] ἐκ γένους,[h]
κινδύνοις[i] ἐξ ἐθνῶν, κινδύνοις[j] ἐν πόλει, κινδύνοις[k] ἐν ἐρημίᾳ,[l] κινδύνοις[m] ἐν
θαλάσσῃ, κινδύνοις[n] ἐν ψευδαδέλφοις,[o] 27 ⸀κόπῳ[a] καὶ μόχθῳ,[b] ἐν
ἀγρυπνίαις[c] πολλάκις,[d] ἐν λιμῷ[e] καὶ δίψει,[f] ἐν νηστείαις[g] πολλάκις,[h] ἐν ψύχει[i]
καὶ γυμνότητι·[j] 28 χωρὶς τῶν παρεκτὸς[a] ἡ ⸀ἐπίστασίς[b] ⸀μοι ἡ καθ᾽ ἡμέραν, ἡ
μέριμνα[c] πασῶν τῶν ἐκκλησιῶν. 29 τίς ἀσθενεῖ,[a] καὶ οὐκ ἀσθενῶ;[b] τίς
σκανδαλίζεται[c] καὶ οὐκ ἐγὼ πυροῦμαι;[d] 30 Εἰ καυχᾶσθαι[a] δεῖ,[b] τὰ τῆς
ἀσθενείας[c] μου καυχήσομαι.[d] 31 ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ⸀Ἰησοῦ οἶδεν,[a] ὁ

---

g V1SPAI τολμάω *to dare*
22 a NNMP Ἑβραῖος *a Hebrew*
b V3PPAI
c NNMP Ἰσραηλίτης *Israelite*
d V3PPAI
e V3PPAI
23 a NNMP διάκονος *servant*
b V3PPAI
c VPPANMS παραφρονέω *to be out of one's mind*
d V1SPAI
e NDMP κόπος *labor*
f περισσοτέρως *more*
g περισσοτέρως *more*
h NDFP πληγή *plague*
i ὑπερβαλλόντως *more severely*
j πολλάκις *many times*
24 a πεντάκις *five times*
b NAFP τεσσεράκοντα *forty*
c V1SAAI
25 a τρίς *three times*
b V1SAPI ῥαβδίζω *to beat with a rod*
c ἅπαξ *once*
d V1SAPI λιθάζω *to stone*
e τρίς *three times*
f V1SAAI ναυαγέω *to be shipwrecked*
g NANS νυχθήμερον *a night and a day*
h NDMS βυθός *open sea*
i V1SRAI
26 a NDFP ὁδοιπορία *journey*
b πολλάκις *many times*
c NDMP κίνδυνος *danger*
d NGMP ποταμός *river*
e NDMP κίνδυνος *danger*
f NGMP λῃστής *robber*
g NDMP κίνδυνος *danger*
h NGNS γένος *family*
i NDMP κίνδυνος *danger*
j NDMP κίνδυνος *danger*
k NDMP κίνδυνος *danger*
l NDFS ἐρημία *remote place*
m NDMP κίνδυνος *danger*
n NDMP κίνδυνος *danger*
o NDMP ψευδάδελφος *false brother*
27 a NDMS κόπος *labor*
b NDMS μόχθος *toil*
c NDFP ἀγρυπνία *sleeplessness*
d πολλάκις *many times*
e NDMS λιμός *hunger*
f NDNS δίψος *thirst*
g NDFP νηστεία *fasting*
h πολλάκις *many times*
i NDNS ψῦχος *cold*
j NDFS γυμνότης *nakedness*
28 a παρεκτός *besides*
b NNFS ἐπίστασις *stirring up*
c NNFS μέριμνα *worry*
29 a V3SPAI
b V1SPAI
c V3SPPI
d V1SPPI πυρόομαι *to burn*
30 a VNPM
b V3SPAI
c NGFS ἀσθένεια *weakness*
d V1SFMI
31 a V3SRAI

ὢν[b] εὐλογητὸς[c] εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι.[d] 32 ἐν Δαμασκῷ[a] ὁ
ἐθνάρχης[b] Ἁρέτα[c] τοῦ βασιλέως ἐφρούρει[d] τὴν ⸂πόλιν Δαμασκηνῶν⸃[e] πιάσαι[f]
⸀με, 33 καὶ διὰ θυρίδος[a] ἐν σαργάνῃ[b] ἐχαλάσθην[c] διὰ τοῦ τείχους[d] καὶ
ἐξέφυγον[e] τὰς χεῖρας αὐτοῦ.

**12** Καυχᾶσθαι[a] ⸀δεῖ·[b] οὐ ⸂συμφέρον[c] μέν⸃, ἐλεύσομαι[d] ⸀δὲ εἰς ὀπτασίας[e] καὶ
ἀποκαλύψεις[f] κυρίου. 2 οἶδα[a] ἄνθρωπον ἐν Χριστῷ πρὸ ἐτῶν
δεκατεσσάρων—[b] εἴτε ἐν σώματι οὐκ οἶδα,[c] εἴτε ἐκτὸς[d] τοῦ σώματος οὐκ
οἶδα,[e] ὁ θεὸς οἶδεν—[f] ἁρπαγέντα[g] τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ. 3 καὶ
οἶδα[a] τὸν τοιοῦτον ἄνθρωπον— εἴτε ἐν σώματι εἴτε ⸀χωρὶς τοῦ σώματος οὐκ
οἶδα,[b] ὁ θεὸς οἶδεν—[c] 4 ὅτι ἡρπάγη[a] εἰς τὸν παράδεισον[b] καὶ ἤκουσεν[c]
ἄρρητα[d] ῥήματα ἃ οὐκ ἐξὸν[e] ἀνθρώπῳ λαλῆσαι.[f] 5 ὑπὲρ τοῦ τοιούτου
καυχήσομαι,[a] ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι[b] εἰ μὴ ἐν ταῖς ⸀ἀσθενείαις.[c]
6 ἐὰν γὰρ θελήσω[a] καυχήσασθαι,[b] οὐκ ἔσομαι[c] ἄφρων,[d] ἀλήθειαν γὰρ ἐρῶ·[e]
φείδομαι[f] δέ, μή τις εἰς ἐμὲ λογίσηται[g] ὑπὲρ ὃ βλέπει[h] με ἢ ἀκούει[i] ⸀τι ἐξ
ἐμοῦ, 7 καὶ τῇ ὑπερβολῇ[a] τῶν ἀποκαλύψεων.[b] ⸀διὸ ἵνα μὴ ὑπεραίρωμαι,[c]
ἐδόθη[d] μοι σκόλοψ[e] τῇ σαρκί, ἄγγελος ⸀Σατανᾶ, ἵνα με κολαφίζῃ,[f] ⸀ἵνα μὴ

---

b VPPANMS
c NNMS εὐλογητός *worthy of being praised*
d V1SPMI ψεύδομαι *to lie*
32 a NDFS Δαμασκός *Damascus*
b NNMS ἐθνάρχης *governor*
c NGMS Ἁρέτας *Aretas*
d V3SIAI φρουρέω *to guard*
e NGMP Δαμασκηνός *Damascene*
f VNAA πιάζω *to seize*
33 a NGFS θυρίς *window*
b NDFS σαργάνη *basket*
c V1SAPI χαλάω *to lower*
d NGNS τεῖχος *wall*
e V1SAAI ἐκφεύγω *to escape*

**Chapter 12**

1 a VNPM
b V3SPAI
c VPPANNS συμφέρω *to bring together*
d V1SFMI
e NAFP ὀπτασία *vision*
f NAFP ἀποκάλυψις *revelation*
2 a V1SRAI
b NGNP δεκατέσσαρες *fourteen*
c V1SRAI
d ἐκτός *outside*
e V1SRAI
f V3SRAI
g VPAPAMS ἁρπάζω *to catch*
3 a V1SRAI
b V1SRAI
c V3SRAI
4 a V3SAPI ἁρπάζω *to catch*
b NAMS παράδεισος *paradise*
c V3SAAI
d NANP ἄρρητος *inexpressible*
e VPPANNS
f VNAA
5 a V1SFMI
b V1SFMI
c NDFP ἀσθένεια *weakness*
6 a V1SAAS
b VNAM
c V1SFMI
d NNMS ἄφρων *foolish*
e V1SFAI
f V1SPMI φείδομαι *to spare*
g V3SAMS
h V3SPAI
i V3SPAI
7 a NDFS ὑπερβολή *all-surpassing*
b NGFP ἀποκάλυψις *revelation*
c V1SPPS ὑπεραίρομαι *to become conceited*
d V3SAPI
e NNMS σκόλοψ *thorn*
f V3SPAS κολαφίζω *to strike with the fists*

ὑπεραίρωμαι⸀.[g] 8 ὑπὲρ τούτου τρὶς[a] τὸν κύριον παρεκάλεσα[b] ἵνα ἀποστῇ[c] ἀπ’
ἐμοῦ· 9 καὶ εἴρηκέν[a] μοι· Ἀρκεῖ[b] σοι ἡ χάρις μου· ἡ γὰρ ⸀δύναμις ἐν ἀσθενείᾳ[c]
⸀τελεῖται.[d] ἥδιστα[e] οὖν μᾶλλον καυχήσομαι[f] ἐν ταῖς ἀσθενείαις[g] ⸀μου, ἵνα
ἐπισκηνώσῃ[h] ἐπ’ ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ. 10 διὸ εὐδοκῶ[a] ἐν ἀσθενείαις,[b]
ἐν ὕβρεσιν,[c] ἐν ἀνάγκαις,[d] ἐν διωγμοῖς[e] ⸀καὶ στενοχωρίαις,[f] ὑπὲρ Χριστοῦ·
ὅταν γὰρ ἀσθενῶ,[g] τότε δυνατός εἰμι.[h] 11 Γέγονα[a] ⸀ἄφρων·[b] ὑμεῖς με
ἠναγκάσατε·[c] ἐγὼ γὰρ ὤφειλον[d] ὑφ’ ὑμῶν συνίστασθαι.[e] οὐδὲν γὰρ
ὑστέρησα[f] τῶν ὑπερλίαν[g] ἀποστόλων, εἰ καὶ οὐδέν εἰμι·[h] 12 τὰ μὲν σημεῖα τοῦ
ἀποστόλου κατειργάσθη[a] ἐν ὑμῖν ἐν πάσῃ ⸀ὑπομονῇ, σημείοις ⸀τε καὶ τέρασιν[b]
καὶ δυνάμεσιν. 13 τί γάρ ἐστιν[a] ὃ ⸀ἡσσώθητε[b] ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας, εἰ
μὴ ὅτι αὐτὸς ἐγὼ οὐ κατενάρκησα[c] ὑμῶν; χαρίσασθέ[d] μοι τὴν ἀδικίαν[e]
ταύτην. 14 Ἰδοὺ τρίτον ⸀τοῦτο ἑτοίμως[a] ἔχω[b] ἐλθεῖν[c] πρὸς ὑμᾶς, καὶ οὐ
⸀καταναρκήσω·[d] οὐ γὰρ ζητῶ[e] τὰ ὑμῶν ἀλλὰ ὑμᾶς, οὐ γὰρ ὀφείλει[f] τὰ τέκνα
τοῖς γονεῦσιν[g] θησαυρίζειν,[h] ἀλλὰ οἱ γονεῖς[i] τοῖς τέκνοις. 15 ἐγὼ δὲ ἥδιστα[a]
δαπανήσω[b] καὶ ἐκδαπανηθήσομαι[c] ὑπὲρ τῶν ψυχῶν ὑμῶν. ⸀εἰ περισσοτέρως[d]
ὑμᾶς ⸀ἀγαπῶν,[e] ἧσσον[f] ἀγαπῶμαι;[g] 16 ἔστω[a] δέ, ἐγὼ οὐ κατεβάρησα[b] ὑμᾶς·

---

g V1SPPS ὑπεραίρομαι *to become conceited*
8 a τρίς *three times*
b V1SAAI
c V3SAAS ἀφίσταμαι *to leave*
9 a V3SRAI
b V3SPAI ἀρκέω *to be content*
c NDFS ἀσθένεια *weakness*
d V3SPPI τελέω *to finish*
e NANP ἥδιστα *gladly*
f V1SFMI
g NDFP ἀσθένεια *weakness*
h V3SAAS ἐπισκηνόω *to rest upon*
10 a V1SPAI εὐδοκέω *to be well pleased*
b NDFP ἀσθένεια *weakness*
c NDFP ὕβρις *insult*
d NDFP ἀνάγκη *necessity*
e NDMP διωγμός *persecution*
f NDFP στενοχωρία *distress*
g V1SPAS
h V1SPAI
11 a V1SRAI
b NNMS ἄφρων *foolish*
c V2PAAI ἀναγκάζω *to compel*
d V1SIAI
e VNPP συνίστημι *to commend*
f V1SAAI ὑστερέω *to lack*
g ὑπερλίαν *exceedingly*
h V1SPAI
12 a V3SAPI κατεργάζομαι *to produce*
b NDNP τέρας *wonder*
13 a V3SPAI
b V2PAPI ἡττάομαι *to be mastered*
c V1SAAI καταναρκάω *to burden*
d V2PAMM χαρίζομαι *to give grace*
e NAFS ἀδικία *wickedness*
14 a ἑτοίμως *in readiness*
b V1SPAI
c VNAA
d V1SFAI καταναρκάω *to burden*
e V1SPAI
f V3SPAI
g NDMP γονεύς *parents*
h VNPA θησαυρίζω *to store up*
i NNMP γονεύς *parents*
15 a NANP ἥδιστα *gladly*
b V1SFAI δαπανάω *to spend*
c V1SFPI ἐκδαπανάομαι *to be completely expended*
d περισσοτέρως *more*
e VPPANMS
f NANS ἥσσων *for the worse*
g V1SPPI
16 a V3SPAM
b V1SAAI καταβαρέω *to burden*

ἀλλὰ ὑπάρχων[c] πανοῦργος[d] δόλῳ[e] ὑμᾶς ἔλαβον.[f] 17 μή τινα ὧν ἀπέσταλκα[a]
πρὸς ὑμᾶς, δι’ αὐτοῦ ἐπλεονέκτησα[b] ὑμᾶς; 18 παρεκάλεσα[a] Τίτον[b] καὶ
συναπέστειλα[c] τὸν ἀδελφόν· μήτι[d] ἐπλεονέκτησεν[e] ὑμᾶς Τίτος;[f] οὐ τῷ αὐτῷ
πνεύματι περιεπατήσαμεν;[g] οὐ τοῖς αὐτοῖς ἴχνεσιν;[h] 19 ⸀Πάλαι[a] δοκεῖτε[b] ὅτι
ὑμῖν ἀπολογούμεθα;[c] ⸀κατέναντι[d] θεοῦ ἐν Χριστῷ λαλοῦμεν.[e] τὰ δὲ πάντα,
ἀγαπητοί, ὑπὲρ τῆς ὑμῶν οἰκοδομῆς,[f] 20 φοβοῦμαι[a] γὰρ μή πως ἐλθὼν[b] οὐχ
οἵους[c] θέλω[d] εὕρω[e] ὑμᾶς, κἀγὼ εὑρεθῶ[f] ὑμῖν οἷον[g] οὐ θέλετε,[h] μή πως ⸀ἔρις,[i]
⸀ζῆλος,[j] θυμοί,[k] ἐριθεῖαι,[l] καταλαλιαί,[m] ψιθυρισμοί,[n] φυσιώσεις,[o]
ἀκαταστασίαι·[p] 21 μὴ πάλιν ⸂ἐλθόντος[a] μου⸃ ⸀ταπεινώσῃ[b] ⸀με ὁ θεός μου
πρὸς ὑμᾶς, καὶ πενθήσω[c] πολλοὺς τῶν προημαρτηκότων[d] καὶ μὴ
μετανοησάντων[e] ἐπὶ τῇ ἀκαθαρσίᾳ[f] καὶ πορνείᾳ[g] καὶ ἀσελγείᾳ[h] ᾗ ἔπραξαν.[i]

**13** Τρίτον τοῦτο ἔρχομαι[a] πρὸς ὑμᾶς· ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν
σταθήσεται[b] πᾶν ῥῆμα. 2 προείρηκα[a] καὶ προλέγω[b] ὡς παρὼν[c] τὸ δεύτερον
καὶ ἀπὼν[d] ⸀νῦν, τοῖς προημαρτηκόσιν[e] καὶ τοῖς λοιποῖς πᾶσιν, ὅτι ἐὰν ἔλθω[f]

---

c VPPANMS
d NNMS πανοῦργος *crafty*
e NDMS δόλος *deceit*
f V1SAAI
17 a V1SRAI
b V1SAAI πλεονεκτέω *to exploit*
18 a V1SAAI
b NAMS Τίτος *Titus*
c V1SAAI συναποστέλλω *to send with*
d μήτι *[interrogative particle]*
e V3SAAI πλεονεκτέω *to exploit*
f NNMS Τίτος *Titus*
g V1PAAI
h NDNP ἴχνος *step*
19 a πάλαι *long ago*
b V2PPAI
c V1PPMI ἀπολογέομαι *to defend oneself*
d κατέναντι *ahead*
e V1PPAI
f NGFS οἰκοδομή *building*
20 a V1SPMI
b VPAANMS
c NAMP οἷος *what sort of*
d V1SPAI
e V1SAAS
f V1SAPS
g NAMS οἷος *what sort of*
h V2PPAI
i NNFS ἔρις *quarrel*
j NNMS ζῆλος *zeal*
k NNMP θυμός *wrath*
l NNFP ἐριθεία *selfish ambition*
m NNFP καταλαλιά *slander*
n NNMP ψιθυρισμός *whispering gossip*
o NNFP φυσίωσις *arrogance*
p NNFP ἀκαταστασία *disorder*
21 a VPAAGMS
b V3SAAS ταπεινόω *to humble*
c V1SAAS πενθέω *to mourn*
d VPRAGMP προαμαρτάνω *to sin earlier*
e VPAAGMP
f NDFS ἀκαθαρσία *impurity*
g NDFS πορνεία *sexual immorality*
h NDFS ἀσέλγεια *debauchery*
i V3PAAI

**Chapter 13**

1 a V1SPMI
b V3SFPI
2 a V1SRAI προλέγω *to tell beforehand*
b V1SPAI προλέγω *to tell beforehand*
c VPPANMS πάρειμι *to be present*
d VPPANMS ἄπειμι *to be absent*
e VPRADMP προαμαρτάνω *to sin earlier*
f V1SAAS

εἰς τὸ πάλιν οὐ φείσομαι,[g] 3 ἐπεὶ[a] δοκιμὴν[b] ζητεῖτε[c] τοῦ ἐν ἐμοὶ λαλοῦντος[d]
Χριστοῦ· ὃς εἰς ὑμᾶς οὐκ ἀσθενεῖ[e] ἀλλὰ δυνατεῖ[f] ἐν ὑμῖν, 4 καὶ ⸀γὰρ
ἐσταυρώθη[a] ἐξ ἀσθενείας,[b] ἀλλὰ ζῇ[c] ἐκ δυνάμεως θεοῦ. καὶ γὰρ ἡμεῖς
ἀσθενοῦμεν[d] ἐν αὐτῷ, ἀλλὰ ⸀ζήσομεν[e] σὺν αὐτῷ ἐκ δυνάμεως θεοῦ εἰς ὑμᾶς.
5 Ἑαυτοὺς πειράζετε[a] εἰ ἐστὲ[b] ἐν τῇ πίστει, ἑαυτοὺς δοκιμάζετε·[c] ἢ οὐκ
ἐπιγινώσκετε[d] ἑαυτοὺς ὅτι ⸂Ἰησοῦς Χριστὸς⸃ ἐν ⸀ὑμῖν; εἰ μήτι[e] ἀδόκιμοί[f]
ἐστε.[g] 6 ἐλπίζω[a] δὲ ὅτι γνώσεσθε[b] ὅτι ἡμεῖς οὐκ ἐσμὲν[c] ἀδόκιμοι.[d]
7 ⸀εὐχόμεθα[a] δὲ πρὸς τὸν θεὸν μὴ ποιῆσαι[b] ὑμᾶς κακὸν μηδέν, οὐχ ἵνα ἡμεῖς
δόκιμοι[c] φανῶμεν,[d] ἀλλ’ ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε,[e] ἡμεῖς δὲ ὡς ἀδόκιμοι[f]
ὦμεν.[g] 8 οὐ γὰρ δυνάμεθά[a] τι κατὰ τῆς ἀληθείας, ἀλλὰ ὑπὲρ τῆς ἀληθείας.
9 χαίρομεν[a] γὰρ ὅταν ἡμεῖς ἀσθενῶμεν,[b] ὑμεῖς δὲ δυνατοὶ ἦτε·[c] ⸀τοῦτο καὶ
εὐχόμεθα,[d] τὴν ὑμῶν κατάρτισιν.[e] 10 διὰ τοῦτο ταῦτα ἀπὼν[a] γράφω,[b] ἵνα
παρὼν[c] μὴ ἀποτόμως[d] χρήσωμαι[e] κατὰ τὴν ἐξουσίαν ἣν ⸂ὁ κύριος ἔδωκέν[f]
μοι⸃, εἰς οἰκοδομὴν[g] καὶ οὐκ εἰς καθαίρεσιν.[h] 11 Λοιπόν, ἀδελφοί, χαίρετε,[a]
καταρτίζεσθε,[b] παρακαλεῖσθε,[c] τὸ αὐτὸ φρονεῖτε,[d] εἰρηνεύετε,[e] καὶ ὁ θεὸς τῆς
ἀγάπης καὶ εἰρήνης ἔσται[f] μεθ’ ὑμῶν. 12 ἀσπάσασθε[a] ἀλλήλους ἐν ἁγίῳ
φιλήματι.[b] ἀσπάζονται[c] ὑμᾶς οἱ ἅγιοι πάντες. 13 ἡ χάρις τοῦ κυρίου Ἰησοῦ

---

g V1SFMI φείδομαι *to spare*
3 a ἐπεί *since*
b NAFS δοκιμή *character*
c V2PPAI
d VPPAGMS
e V3SPAI
f V3SPAI δυνατέω *to be able*
4 a V3SAPI
b NGFS ἀσθένεια *weakness*
c V3SPAI
d V1PPAI
e V1PFAI
5 a V2PPAM
b V2PPAI
c V2PPAM δοκιμάζω *to test*
d V2PPAI
e μήτι *[interrogative particle]*
f NNMP ἀδόκιμος *failing the test*
g V2PPAI
6 a V1SPAI
b V2PFMI
c V1PPAI
d NNMP ἀδόκιμος *failing the test*
7 a V1PPMI εὔχομαι *to pray for*
b VNAA
c NNMP δόκιμος *approved by testing*
d V1PAPS
e V2PPAS
f NNMP ἀδόκιμος *failing the test*
g V1PPAS
8 a V1PPMI
9 a V1PPAI
b V1PPAS
c V2PPAS
d V1PPMI εὔχομαι *to pray for*
e NAFS κατάρτισις *perfection*
10 a VPPANMS ἄπειμι *to be absent*
b V1SPAI
c VPPANMS πάρειμι *to be present*
d ἀποτόμως *harshly*
e V1SAMS χράομαι *to make use of*
f V3SAAI
g NAFS οἰκοδομή *building*
h NAFS καθαίρεσις *tearing down*
11 a V2PPAM
b V2PPPM καταρτίζω *to restore*
c V2PPPM
d V2PPAM φρονέω *to think*
e V2PPAM εἰρηνεύω *to live in peace*
f V3SFMI
12 a V2PAMM
b NDNS φίλημα *kiss*
c V3PPMI

Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ ἡ κοινωνία[a] τοῦ ἁγίου πνεύματος μετὰ πάντων ⸀ὑμῶν.

---

13 a NNFS κοινωνία
*fellowship*